# ΡΗΣΟΣ.

Φλαυίου Φιλοστράτου: Ἡρωϊκά. Κεφ. II (8)

Γινώσκειν δὲ χρὴ καὶ τοῦ Θρᾳκὸς Ῥήσου.
Ῥῆσος γάρ, ὃν ἐν Τροίᾳ Διομήδης ἀπέκτεινε, λέγεται οἰκεῖν τὴν Ῥοδόπην
Καὶ πολλὰ αὐτοῦ θαυμαστὰ ᾄδουσιν.
Ἱπποτροφεῖν τε γάρ φασιν αὐτόν, ἢ ὁπλιτεύειν, ἢ θήρας ἅπτεσθαι
Σημεῖον δὲ εἶναι τοῦ θηρᾶν τὸν ἥρω, τὸ τοὺς σῦς τοὺς ἀγρίους, καὶ τὰς δορκάδας καὶ ὁπόσα ἐν τῷ ὄρει θηρία, φοιτᾶν πρὸς τὸν βωμὸν τοῦ Ῥήσου κατὰ δύο ἢ τρία, θύεσθαι δὲ οὐδενὶ δεσμῷ ξυνεχόμενα, καὶ παρέχειν τῇ μαχαίρᾳ ἑαυτά.
Λέγεται δὲ ὁ ἥρως καὶ λοιμοῦ εἴργειν τοὺς ὅρους· πολυανθρωποτάτη δὲ ἡ Ῥοδόπη.
Καὶ πολλαὶ περὶ τὸ ἱερὸν αἱ κῶμαι.

Ὅθεν μοι δοκεῖ καὶ βοηθεῖσθαι ὑπὲρ τῶν ἑαυτοῦ συστρατιωτῶν ὁ Διομήδης, εἰ τὸν μὲν Θρᾷκα τοῦτον, ὃν αὐτὸς ἀπέκτεινε μηδὲν εὐδόκιμον ἐν Τροίᾳ ἐργασάμενον, μηδὲ δείξαντά τι ἐκεῖ λόγου ἄξιον πλὴν ἵππων λευκῶν, εἶναί τι ἡγοίμεθα καὶ θύοιμεν αὐτῷ διὰ Ῥοδόπης τε καὶ Θρᾴκης πορευόμενοι, τοὺς δὲ θεῖά τε ἢ λαμπρὰ εἰργασμένους ἔργα ἀτιμάζοιμεν

Gottfridus Olearius Lipsiae 1709. σ. 680-1

Ῥοδόπην ubi regnaverat Rhesus
Et certe ad oraculum Rhesi in antris Rhodopes Euripides quoque alludit in Rheso v. 970

Κρυπτὸς δ' ἐν ἄντροις τῆς ὑπαργύρου χθονὸς
Ἀνθρωποδαίμων κείσεται, βλέπων φάος etc.

Homerus Ἰλιὰς Κ 137 de Rhesi equis:
Λευκότεροι χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι
Quod imitatus Catullus istis epigr. 56.
Nec Rhesi niveis citisque bigis
et Claudianus illis:
Impetuo excessit Zephyros candorque pruinas.

# Ῥῆσος.

233

«Βασιλεὺς Θρᾳκῶν. υἱὸς τοῦ Ἠϊονέως βασιλέως τῆς Θρᾴκης ὁ σύμμαχος τῶν Τρώων κατὰ τὸν Τρωϊκὸν πόλεμον. οὗτος ἐκέκτητο ἵππους λευκοὺς ὡς ἡ χιών. Παρὰ νεωτέροις συγγραφεῦσι θεωρεῖται υἱὸς τοῦ Στρυμόνος Εὐτέρπης Καλλιόπης ἢ Τερψιχόρης.» Λεξ. Βοΐτρα.

«καὶ τὸν Ῥῆσον δὲ ἡ Μοῦσα ἀκούοντα μεταβάλλει τὸ 'Βάκχου προφήτην' (Ῥησ. 972) ἐν Θρᾴκῃ.» Εὐριπ. Ἑκάβη Σχολ. Βιβλιοθήκη ὑπὸ Βερναρδάκη σ. 193.

Παρθενίου Νικαέως· περὶ ἐρωτικῶν παθημάτων ΛϚ

# Ῥῆσος

Λέγεται δὲ καὶ Ῥῆσον, πρὶν ἐς Τροίαν ἐπίκουρον ἐλθεῖν, ἐπὶ πολλὴν γῆν ἰέναι προσαγόμενόν τε καὶ δασμὸν ἐπιτιθέντα.

Ἔνθα δὴ καὶ εἰς Κίον ἀφικέσθαι κατὰ κλέος γυναικὸς καλῆς· Ἀργανθώνη αὐτῇ ὄνομα.

Αὕτη τὴν μὲν κατ' οἶκον δίαιταν καὶ μονὴν ἀπέστυγε, ἀθροισαμένη δὲ κύνας πολλοὺς ἐθήρευεν οὐ μάλα τινὰ προσιεμένη.

Ἐλθὼν οὖν ὁ Ῥῆσος εἰς τόνδε τὸν χῶρον, βίᾳ μὲν αὐτὴν οὐκ ἦγεν· ἔφη δὲ θέλειν αὐτῇ συγκυνηγεῖν, καὶ αὐτὸς γὰρ ὁμοίως ἐκείνῃ τὴν πρὸς ἀνθρώπους ὁμιλίαν ἐχθαίρειν· ἡ δέ, ταῦτα λέξαντος ἐκείνου, κατήνεσε πειθομένη αὐτὸν ἀληθῆ λέγειν.

Χρόνου δὲ πολλοῦ διαγινομένου εἰς πολὺν ἔρωτα παραγίνεται τοῦ Ῥήσου. καὶ τὸ μὲν πρῶτον ἡσυχάζει αἰδοῖ κατεχομένη· ἐπειδὴ δὲ σφοδρότερον ἐγίνετο τὸ πάθος, ἀπετόλμησεν εἰς λόγους ἐλθεῖν αὐτῷ, καὶ οὕτως ἐθέλων (ἐθέλουσαν) αὐτὴν ἐκεῖνος ἠγάγετο γυναῖκα.

Ὕστερον δέ, πολέμου γενομένου (sic) τοῖς Τρωσί, μετῄεσαν αὐτὸν οἱ βασιλεῖς ἐπίκουρον. ἡ δ' Ἀργανθώνη, εἴτε δὴ ἔρωτι, ὅς πολὺς ὑπῆν αὐτῇ, εἴτε ἄλλως καταμαντευομένη τὸ μέλλον, βαδίζειν αὐτὸν οὐκ εἴα.

Ῥῆσος δὲ μαλακιζόμενος ἐπὶ τῇ μονῇ οὐκ ἠνέσχετο, ἀλλ' ἦλθεν εἰς Τροίαν καὶ μαχόμενος ἐπὶ ποταμῷ, τῷ νῦν ἀπ' ἐκείνου ~~Ῥήσῳ~~ καλουμένῳ, πληγεὶς ὑπὸ Διομήδους ἀποθνήσκει.

Ἡ δ' ὡς ᾔσθετο τεθνηκότος αὐτοῦ, αὖτις ἀπεχώρησεν εἰς τὸν τόπον, ἔνθ' ἐμίγη πρῶτον αὐτῷ, καὶ περὶ αὐτὸν ἀλωμένη θαμὰ ἐβόα τοὔνομα τοῦ Ῥήσου. τέλος δὲ * σῖτα[ ] ποταμῷ προσιεμένη διὰ λύπην ἐξ ἀνθρώπων ἀπηλλάγη.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

24

# ΡΗΣΟΣ?

Altraque Pangaea et Rhesi Mavortia tellus

Virgilius:
Geog. IV vers. 462

C. Cellarius:
Notitia Orbis Antiqui
Lipsiae 1731
τ. I.
σ. 1056

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ